καὶ συμφέρον μεταβολῇ τὰ μὲν ἐνδιδοὺς ἃ δ' ἐπιτείνων πολ- D
λάκις μὲν ἡδὺς ἀεὶ δ' ὠφέλιμός ἐστιν. ὁ δὲ κόλαξ ἀφ' ἑνὸς
διαγράμματος ἀεὶ τὸ ἡδὺ καὶ τὸ πρὸς χάριν εἰωθὼς ὑποκρέ-
κειν οὔτε ἔργον οἶδεν ἀντιτεῖνον οὔτε ῥῆμα λυποῦν, ἀλλὰ
μόνῳ παρέπεται τῷ βουλομένῳ, συνᾴδων ἀεὶ καὶ συμφθεγ-
γόμενος. ὥσπερ οὖν τὸν Ἀγησίλαον ὁ Ξενοφῶν (Ages. XI 5)
ἡδέως ἐπαινεῖσθαί φησιν ὑπὸ τῶν καὶ ψέγειν ἐθελόντων,
οὕτω δεῖ τὸ εὐφραῖνον καὶ χαριζόμενον ἡγεῖσθαι φιλικόν, ἂν
καὶ λυπεῖν ποτε δύνηται καὶ ἀντιτείνειν, τὴν δὲ συνεχῆ ταῖς
ἡδοναῖς καὶ τῷ πρὸς χάριν ἄκρατον ἀεὶ καὶ ἄδηκτον ὁμιλίαν
ὑπονοεῖν, καὶ νὴ Δία τὸ τοῦ Λάκωνος ἔχειν πρόχειρον, ὃς E
ἐπαινουμένου Χαρίλλου τοῦ βασιλέως 'πῶς οὗτος' ἔφη 'χρη-
στός, ὃς οὐδὲ τοῖς πονηροῖς πικρός ἐστι;'

**12.** Τοῖς μὲν οὖν ταύροις τὸν οἶστρον ἐνδύεσθαι παρὰ τὸ
οὖς λέγουσι, καὶ τοῖς κυσὶ τὸν κρότωνα· τῶν δὲ φιλοτίμων ὁ
κόλαξ τὰ ὦτα κατέχων τοῖς ἐπαίνοις καὶ προσπεφυκὼς δυσ-
απότριπτός ἐστιν. ὅθεν ἐνταῦθα δεῖ μάλιστα τὴν κρίσιν ἔχειν
ἐγρηγορυῖαν καὶ παραφυλάττουσαν πότερον τοῦ πράγματος ἢ
τοῦ ἀνδρὸς ὁ ἔπαινός ἐστιν. ἔστι δὲ τοῦ πράγματος, ἂν ἀπόν-
τας μᾶλλον ἢ παρόντας ἐπαινῶσιν, ἂν καὶ αὐτοὶ ταὐτὰ βου-
λόμενοι καὶ ζηλοῦντες, ἂν μὴ μόνους ἡμᾶς ἀλλὰ πάντας ἐπὶ
τοῖς ὁμοίοις, ἂν μὴ νῦν μὲν ταῦτα νῦν δὲ τἀναντία πράτ- F
τοντας καὶ λέγοντας· τὸ δὲ μέγιστον, ἂν αὐτοὶ γινώσκωμεν
ἑαυτοὺς μὴ μεταμελουμένους ἐφ' οἷς ἐπαινούμεθα μηδὲ αἰσχυ-
νομένους μηδὲ μᾶλλον ἡμῖν τἀναντία τούτων πεπρᾶχθαι καὶ
λελέχθαι βουλομένους. ἡ γὰρ οἴκοθεν κρίσις ἀντιμαρτυροῦσα |